www.tezaurliturgic.ro

# Μηνὸς Ἰανουαρίου ΚΓ΄

## Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀγαθαγγέλου

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ — ΚΕΝΤΡΟΝ ΑΓΙΟΛΟΓΙΚΩΝ ΜΕΛΕΤΩΝ — ΕΡΜΟΥ 34 — ΙΕΡΑ ΜΟΝΗ ΑΓΙΑΣ ΘΕΟΔΩΡΑΣ

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, τό· Μακάριος ἀνήρ.

Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄, καὶ ψάλλομεν στιχηρὰ Προσόμοια τοῦ Ἁγίου Ἀγαθαγγέλου (τοῦ Μηναίου γ΄).

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀγαθαῖς ἀγγελίαις σε, συνοδίτην καὶ σύναθλον, Κλήμης ὁ πανάριστος κατεπλούτησε, μεθ᾽ οὗ τοὺς δρόμους διήνυσας, τοὺς θείους στρεβλούμενος καὶ παντοίοις ἀλγεινοῖς, ὁμιλῶν Ἀγαθάγγελε, ἕως τέλειος, γεγονὼς στεφανίτης, πρὸς τὰ ἄνω, μεταβέβηκας Ἀγγέλοις, συνεπαγάλλεσθαι πάντοτε.

Καὶ ξεσμοῖς δαπανώμενος, καὶ πυρὶ λιπαινόμενος, καὶ λαμπάσι πάντοθεν φλογιζόμενος, ἐπὶ κραββάτου ἁπλούμενος, σοφὲ Ἀγαθάγγελε, καὶ ὡς ἄρτος καθαρός, ἐπ᾽ ἀνθράκων ὀπτόμενος, προσενήνεξαι, οὐρανίῳ τραπέζῃ ἱκετεύων, τοὺς ἐν πίστει σε τιμῶντας, πάσης ῥυσθῆναι κολάσεως.

Ῥαβδισμοὺς ἐκαρτέρησας, καὶ ἐν ξύλῳ τεινόμενος, σπαραγμοὺς ὑπήνεγκας καρτερώτατα. καὶ ἐπὶ τέλει τῶν ἄθλων σου, σοφὲ Ἀγαθάγγελε, ἐκτμηθεὶς τὴν κεφαλήν, ταῖς ῥανίσι τοῦ αἵματος, ὅλην ἤρδευσας, τὴν σεπτὴν Ἐκκλησίαν εὐφημοῦσαν, τὰς λαμπράς σου ἀριστείας, κλέος Μαρτύρων πολύαθλε.

www.tezaurliturgic.ro



Τοῦ Ἁγίου Ἀγαθαγγέλου Προσόμοια ἕτερα (γ΄).

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ Οὐρανὸς καὶ ἡ γῆ, ἑορτάζουσι σήμερον, τοῦ ἐνδόξου Μάρτυρος, Ἀγαθαγγέλου τὴν ἄθλησιν. Μετὰ Ἀγγέλων, Μάρτυρες χαίρουσι, καὶ συναγείρουσι κόσμον ἅπαντα, τὰ κατορθώματα ψάλλειν καὶ τὰ θαύματα, δι᾽ ὧν τρανῶς, τὸν Χριστὸν ἐδόξασεν, ὡς μόνον Κύριον.

Ὢ τοῦ παραδόξου θαύματος, ἐν ἀσθενεῖ πῶς σαρκί, τὰ φρικτὰ πῶς ὑπέμεινας, θεῖε Ἀγαθάγγελε, πολυώδινα βάσανα, ἐγκαρτερήσας ἡρωϊκώτατα καὶ μὴ γογγύσας ὅλως πανθαύμαστε. Ὅθεν καὶ ἔλαβες στέφανον τὸν ἄφθαρτον, παρὰ Χριστοῦ, ᾧ νῦν καθικέτευε, ὑπὲρ τῶν δούλων σου.

Ὢ τοῦ παραδόξου θαύματος, τίς ἐξισχύσει εἰπεῖν, τὴν ἀνδρείαν σου, Ἅγιε, μεθ᾽ ἧς ἐκαρτέρησας, καὶ ὡς ἄσαρκος ἤνεγκας, βουνεύρων τύψεις, ξύλου ἀνάρτησιν, λαμπάδων φλόγας, δορᾶς ἀφαίρεσιν, πύρινον κράββατον, καὶ τὴν καρατόμησιν, ὑπὲρ Χριστοῦ, ὃν ἀεὶ ἱκέτευε, σωθῆναι πάντας ἡμᾶς.

Δόξα... Ἦχος β΄.

Ἀγγελικαὶ χορεῖαι ἑορτάζουσι σήμερον, ἐπὶ τῇ θείᾳ μνήμῃ, τοῦ ἐνδόξου Μάρτυρος Ἀγαθαγγέλου. Καὶ Χριστωνύμων τὰ στίφη πιστῶς πανηγυρίζει, καὶ εὐφροσύνως ἐκβοᾷ· χαίροις πολύαθλε, ὁ τοῦ Σατὰν μεθοδείας ἁπάσας, γελοίας ἀπελέγξας, καὶ θαυμαστῇ καρτερίᾳ τοῦ Χριστοῦ καταγγείλας τὴν δύναμιν. Χαίροις, ὁπλῖτα πανάριστε, τοῦ Βασιλέως τῆς δόξης, τοῦ μεγάλου, δαιμονικὴν λατρείαν εἰδώλων καταστρεψάμενος. Χαίροις ὁσιακῶς ἐναρξάμενος, ἀποστολικῶς διαπρέψας, καὶ Μαρτυρίου τὸ στέφος λαμπρῶς ἀναδησάμενος. Ἱκέτευε, τοῦ πυρὸς τοῦ αἰωνίου σωθῆναι, καὶ κινδύνων ῥυσθῆναι χαλεπῶν, τοὺς ἐκτελοῦντας τὴν πανσέβαστον μνήμην σου.

Καὶ νῦν... Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα·

www.tezaurliturgic.ro



Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ' 9).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην. Ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ' 41).

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί, ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις· καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπης καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτός, καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής. Καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφίαν. Ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν. Φωτὶ συγκρινομένη, εὑρίσκεται προτιμοτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια. Καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς. Καταδυναστεύσωμεν τὸν δίκαιον· μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους. Ἔσται δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ,

www.tezaurliturgic.ro



καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ· θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ· οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν, καὶ σῴζων ἐν καιρῷ θλίψεως, καὶ ῥυόμενος παντὸς κακοῦ· ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. ε' 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῶν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Μετὰ τὴν ἐκφώνησιν «Εἴη τὸ κράτος τῆς βασιλείας Σου», ψάλλονται τὰ Στιχηρὰ τῆς Λιτῆς· ὧν ψαλλομένων ὑπὸ τοῦ πρώτου τῇ τάξει Ἱερέως, ἐξερχόμεθα διὰ τοῦ βορείου μέρους λιτανεύοντες τὰ ἅγια λείψανα ἢ τὴν εἰκόνα τοῦ Ἁγίου, τοῦ Διακόνου θυμιῶντος ἔμπροσθεν, καὶ προπορευομένων τῶν λαμπάδων.

www.tezaurliturgic.ro



Εἰς τὴν Λιτήν. Ἰδιόμελα.

Ἦχος α΄.

Ἄγκυρα καὶ Ῥώμη, Ἀποστολικαὶ πόλεις ἀλλήλας ἀσπάσθητε σήμερον, ἐν τοῖς σεπτοῖς γενεθλίοις τοῦ πανενδόξου Μάρτυρος Ἀγαθαγγέλου. Ἡ μέν, ὡς τοῦτον γεννήσασα· ἡ δ' ὡς ἐκθρέψασα, τῇ οὐρανίῳ Κλήμεντος διδασκαλίᾳ· καὶ ἀναδείξασα Μάρτυρα, καὶ πολιοῦχον ἀκοίμητον κεκτημένη. Πρεσβεύοντα τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Δεῦρο πρὸς ἡμᾶς, Ἀγαθάγγελε ἔνδοξε Μάρτυς, συναθροισθέντας ὑμνῆσαι τὴν πάνσεπτον μνήμην σου, καὶ ἀριθμῆσαι τὰ σὰ κατορθώματα, καὶ προσκυνῆσαι τὰ θεῖά σου λείψανα. Δέξαι τοὺς ὕμνους, καὶ τὰς δεήσεις, καὶ πειρασμῶν ἡμᾶς πάντας, εὐχαῖς σου λύτρωσαι.

Ἦχος γ΄.

Ὢ τῆς ἀνδρείας σου Ἅγιε, καὶ τῆς ὑπομονῆς καὶ καρτερίας σου! Τῶν Ἀγγέλων γὰρ κατέπληξας τὰ τάγματα, καὶ τῶν δαιμόνων κατετραυμάτισας τὰς φάλαγγας, ἐν ταῖς ἀνηκούστοις σου βασάνοις. Διό σε ἱκετεύομεν, ὡς παῤῥησίαν πολλὴν κεκτημένος, παρὰ Χριστῷ τῷ Θεῷ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄.

Σήμερον πιστοὶ προσέλθωμεν λαμπαδηφόροι, τῷ θείῳ τάφῳ, τοῦ πανενδόξου Μάρτυρος Ἀγαθαγγέλου· καὶ στέψωμεν τοῦτον πνευματικοῖς ἄνθεσιν εὐφημιῶν καὶ ἐγκωμίων. Ἐν αὐτῷ γὰρ ἐδοξάσθη τρανῶς, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐνδοξαζόμενος ἐν τοῖς Ἁγίοις αὐτοῦ, καὶ παρέχων δι' αὐτοῦ, ἰάματα, εἰρήνην, καὶ μέγα ἔλεος.

Δόξα... Ἦχος πλ. β΄.

Ἔχει μέν, τὸ καθαρόν σου πνεῦμα οὐρανός, καθορῶν τῆς Τριάδος τὸ κάλλος τὸ ἄῤῥητον. Ἔχει δὲ ἡγιασμένον τοῖς λύθροις σου, τῆς Ἀγκύρας ἡ πόλις τὸν τάφον σου Ἅγιε, μύρα προχέοντα καὶ ἰαμάτων χάριν τοῖς πιστοῖς. Ἡμεῖς δέ, τὴν σεπτήν σου εἰκόνα πλουτοῦντες τὴν χαριτόβρυτον, ὡς πολύτιμον θησαυρόν, μετ' εὐλαβείας καὶ πόθου ταύτην περιπτυσσόμενοι κράζομεν: ἐκτενῶς ἱκετεύων ὑπὲρ ἡμῶν τῶν

www.tezaurliturgic.ro



σῶν δούλων, μὴ παύσῃ Ἀγαθάγγελε. Σὲ γὰρ θερμὸν πρὸς Θεὸν προστάτην κεκτήμεθα.

Καὶ νῦν... Θεοτόκε σὺ εἶ ἡ ἄμπελος...

Εἰς τὰ Ἀπόστιχα.

Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στρατιώτης ἀήττητος, ἐγνωρίσθης ἀοίδιμε· τοῦ Σταυροῦ τῷ ὅπλῳ γὰρ ὁπλισάμενος, πρὸς συμπλοκὴν ἐξελήλυθας, ἐχθροῦ τοῦ ἀλάστορος, καταισχύνας τε αὐτόν, Ἀγαθάγγελε εἴληφας, καὶ τὸν στέφανον, τὸν λαμπρὸν τὸν τῆς νίκης, ἐκ τοῦ μόνου, ἀθλοθέτου καὶ Δεσπότου καὶ ἀεὶ βασιλεύοντος.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Τοῖς τιμίοις σου πάθεσι, Πάθος τίμιον ἔνδοξε, ἐμιμήσω ἄριστα, Ἀγαθάγγελε· καὶ νικηφόρος γενόμενος, τὴν ἄνω Μητρόπολιν, μετὰ θείου κατοικεῖς, διδασκάλου σου Κλήμεντος, καὶ συμμάρτυρος, εὐφραινόμενοι μάκαρ, διὸ πάντες, τὴν σεπτήν σου καὶ ἁγίαν, ἐπιτελοῦμεν πανήγυριν.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Φοινιχθεῖσαν ἐν αἵματι, τῆς σαρκός σου ἐνδέδυσαι, πορφυρίδα ἔνδοξε, θείᾳ χάριτι· καὶ κορυφῇ σῇ διάδημα, ἐπαναδησάμενος, ἀφθαρσίας καὶ ζωῆς· τοῦ Σταυροῦ τε τὸ τρόπαιον, Μάρτυς πάνσοφε, δεξιᾷ περιφέρων, ὥσπερ σκῆπτρον, τῷ Χριστῷ συμβασιλεύεις, διὰ παντὸς εὐφραινόμενος.

Δόξα... Ἦχος πλ. δ΄.

Εὐφραίνεσθε Μαρτύρων τὰ στρατεύματα· τέρπου καὶ ἀγάλλου ἡ Ἐκκλησία τοῦ Θεοῦ· ἑόρταζε καὶ ψάλλε ἡ πόλις ἡ Ἄγκυρα. Ἰδοὺ γὰρ προέρχεται ὡραῖος, περιβεβλημένος στέφανον μαρτυρικὸν καὶ πορφύραν αἱμάτων, ὁ Θεῖος Ἀγαθάγγελος. Ὢ τῆς ἀνδρείας καὶ καρτερίας, καὶ τῆς ὑπομονῆς! Πῶς ἄνθρωπος μετὰ σαρκὸς ἀναριθμήτους φέρει βασάνους καὶ ὀδύνας φρικτάς! Ἀλλ' ὁ τοῦτον δοξάσας, Χριστὲ ὁ Θεός, στερέωσον ἡμᾶς ἐν τῇ ἀγάπῃ σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Καὶ νῦν... Ἀνύμφευτε Παρθένε...

Νῦν ἀπολύεις... Τρισάγιον. Παναγία τριάς... Πάτερ ἡμῶν... Ὅτι σοῦ ἐστιν ...

Ἀπολυτίκιον.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν ἀγαθῶν Θεοῦ Ἀγγέλων ἐπώνυμος, καὶ τῶν Μαρτύρων τοῦ Χριστοῦ περιώνυμος, τῶν σὲ τιμώντων ἀντιλήπτωρ κραταιὸς μάκαρ Ἀγαθάγγελε, τοῦ Σατὰν καθαιρέτα, Εὐσεβείας πρόμαχε, καὶ γενναῖε ὁπλῖτα· μὴ διαλείπῃς πρεσβεύων πρὸς Θεόν, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...

Καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν. Κάθισμα.

Ἦχος πλ. α'. Τὸν συνάναρχον.

Ἀρετῶν ταῖς ἰδέαις καταστραπτόμενος, μαρτυρίου τῷ φέγγει ὡραϊζόμενος, ὑπὲρ ἥλιον σοφέ, ἐκλάμπεις Ἀγαθάγγελε· καὶ φωτίζεις ἀληθῶς, τοὺς ἐκτελοῦντάς σου πιστῶς, τὴν μνήμην τὴν φωτοφόρον, πανένδοξε ἀθλοφόρε, καὶ προσκυνοῦντάς σου τὰ λείψανα.

Δόξα... Τὸ αὐτό. Καὶ νῦν... Θεοτοκίον.

Ἀπειρόγαμε Νύμφη καὶ Ἀειπάρθενε, σὺν τοῖς Μάρτυσι θείοις ἀνευφημοῦμέν σε· ὅτι ἐν σοὶ ὁ δυνατὸς μεγαλεῖα ἐποίησεν, ὁ υἱός σου καὶ Θεός, ὁ πρὸ αἰώνων ἐκ Πατρός, τῇ μήτρᾳ σου ἐνοικήσας, εὐδόκησε γεννηθῆναι, ἵνα ἐκ πλάνης σώσῃ τὸ γένος ἡμῶν.

www.tezaurliturgic.ro



Μετὰ τὴν β' Στιχολογίαν. Κάθισμα.

Ἦχος γ'. Θείας πίστεως.

Θείῳ αἵματι, τὴν Ἐκκλησίαν, κατελάμπρυνας, ὡς ἀθλοφόρος, Ἀγαθάγγελε καὶ τὴν πλάνην κατήργησας, ὑπενεγκὼν τὰς βασάνους στεῤῥότατα, καὶ τῶν πιστῶν τὰς καρδίας ἐφώτισας. Ὅθεν ἅπαντες, τὴν μνήμην τὴν σὴν πανθαύμαστε, τελοῦντες ἐν πίστει, τὸν Σωτῆρα δοξάζομεν.

Δόξα... Τὸ αὐτό. Καὶ νῦν... Θεοτοκίον.

Θρόνος πάγχρυσος τοῦ βασιλέως, καὶ Παράδεισος, διηνθισμένος, ἀνεδείχθης Θεοτόκε Πανάχραντε· τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν· ὅθεν ἅπαντες, Θεοῦ ἀληθῶς Μητέρα σὲ κηρύττομεν, ἀεὶ καὶ μεγαλύνομεν.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἀγαθόν σε Ἄγγελον γεγενημένον, θεοσδότοις λάμψεσιν, ἀνευφημοῦντες εὐσεβῶς, ἐπιτελοῦμεν τὴν μνήμην σου, κλέος Μαρτύρων, σοφὲ Ἀγαθάγγελε.

Δόξα... Τὸ αὐτό. Καὶ νῦν... Θεοτοκίον.

Προστασία ἄμαχε τῶν θλιβομένων, καὶ πρεσβεία ἕτοιμε τῶν ἀπορούντων ἐν δεινοῖς, ἀπὸ κινδύνων με λύτρωσαι· μή με παρίδῃς, ἡ πάντων ἀντίληψις.

Οἱ Ἀναβαθμοί. Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Ἐκ νεότητός μου...

Προκείμενον Ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος. Πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.

Τό, Πᾶσα πνοή. Εὐαγγέλιον (6ης Νοεμβρίου).

www.tezaurliturgic.ro



Ὁ Ν΄ Ψαλμός.

Δόξα... Ταῖς τοῦ ἀθλοφόρου...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Τό, Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...

Καὶ τὸ Στιχηρὸν Ἰδιόμελον. Ἦχος πλ. β΄.

Μάρτυς ἔνδοξε, θεῖε Ἀγαθάγγελε, φίλε γνήσιε τοῦ βασιλέως Χριστοῦ, ὁ δοξάσας αὐτὸν ἐν ὀδύναις φρικταῖς, καὶ τῇ ἐκχύσει τοῦ τιμίου σου αἵματος. Ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμενος, τῶν τιμώντων πίστει τὴν μνήμην σου, ὅπως εὕρωμεν χάριν καὶ σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν.

Τό, Σῶσον ὁ Θεός... Κύριε ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Καὶ οἱ Κανόνες, ὁ τῆς Θεοτόκου, καὶ οἱ τοῦ Ἁγίου.

Κανὼν τοῦ Ἁγίου Ἀγαθαγγέλου, οὗ ἡ ἀκροστιχίς.

Τὴν σὴν ἀνυμνῶ παμμάκαρ χαίρων χάριν, Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ πατάξας Αἴγυπτον.

Τὸν κλεινὸν ἐν Μάρτυσι, τῶν ἀθλητῶν τὸ καύχημα, τὸν Ἄγγελον τῇ κλήσει, γεγενημένον καὶ τῇ πράξει, χαρμονικῶς σήμερον τιμήσωμεν ἐν πίστει, καὶ μακαρίσωμεν.

Ἠξιώθης ἔνδοξε, τῆς τῶν Μαρτύρων εὐκλείας, ἀθλοῦντα θεωρήσας, μεγαλοφρόνως ἐν τῇ Ῥώμῃ, τὸν ἱερὸν Κλήμεντα· μεθ᾿ οὗ σε συνελθόντες, πίστει γεραίρομεν.

Νεκρωθεὶς μακάριε, παντὶ τῷ κόσμῳ ἔδραμες, τὴν νέκρωσιν κηρύττων, τοῦ Ζωοδότου ἐν σταδίῳ· καὶ ὑποστὰς βάσανα, ζωῆς ἀδιαδόχου, νῦν κατηξίωσαι.

Θεοτοκίον.

Σαρκωθέντα Κύριον, δι᾿ εὐσπλαγχνίαν, ἄφατον, ἐκύησας Παρθένε· ὃν Ἀγαθάγγελος ποθήσας, ἔξω σαρκὸς γέγονεν, ἀθλήσας παραδόξως· μεθ᾿ οὗ ὑμνοῦμέν σε.

www.tezaurliturgic.ro



Εἰς τὸν Ἅγιον Μάρτυρα Ἀγαθάγγελον, Κανὼν ἕτερος, φέρων ἀκροστιχίδα: Ἀγαθάγγελον ὑμνῶ Μαρτύρων δόξαν, Εὐθ(ύ)μ(ιο)ς.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἀγγέλων συνώνυμε Ἀγαθῶν, Μαρτύρων τε δόξα, Ἀγαθάγγελε ἀθλητά, παράσχου μοι χάριν οὐρανόθεν, ὅπως ὑμνήσω σὴν ἔνδοξον ἄθλησιν.

Γονεῖς καὶ Πατρίδα καταλιπών, πλοῦτόν τε καὶ δόξαν, καὶ τοῦ κόσμου πάσας τρυφάς, Κλήμεντος τοῦ θείου ἀνέδραμες ὀπίσω, ὑφ᾽ οὗ Χριστοῦ τῷ ἔρωτι καταπέφλεξαι.

Ἀγάπης Παμμάκαρ σὲ τοῦ Χριστοῦ, ὅλον πληρωθέντα, οὐκ ἐχώρισαν παντελῶς, βούνευρα Λουκίου καὶ λαμπάδες, θηρία, σοῦβλαι, ἄσβεστος, κάμινος.

Θεοτοκίον.

Θεοῦ ἡ κυήσασα τὸν Υἱόν, ἄχραντε Παρθένε, Παναγία μου Μαρία, πάντων ὑπερέβης, τὴν δόξαν τῶν Ἀγγέλων, καὶ Χερουβεὶμ τῶν Θείων ὄντως ὑπέρκεισαι.

Ὠδὴ γ΄. Ἐστερεώθη ἡ καρδία μου.

Ὑμνολογῶ σου τοὺς ἀπείρους παμμάκαρ πόνους, τὰς στρεβλώσεις καὶ τὰς πολλὰς αἰκίσεις, τὴν ἀνδρείαν, τοὺς ξεσμούς, καὶ τὸν θάνατον δι᾽ ὧν ἠξιώθης, ζωῆς Ἀγαθάγγελε.

Μετὰ μυρίους αἰκισμούς τε καὶ ἀλγηδόνας, ῥαβδισμούς τε καὶ ξέσεις ἀθλοφόρε, ὑποβρύχιος θαλάσσῃ, δέδοσαι ἔνδοξε· ἐξ ἧς ὁ τῶν ὅλων, δημιουργὸς ἐῤῥύσατο.

Νεανικῶς τε καὶ ἀνδρείως γενναῖε, πυρακτώσεις ὑπήνεγκας τῶν ἥλων καιομένης τῆς σαρκός, καὶ ἄνωθεν δρόσον δεχομένης, ὑπομονῆς Ἀγαθάγγελε.

Θεοτοκίον.

Ὢ παραδόξου μυστηρίου! Πῶς ἡ Παρθένος, Πλατυτέρα τῶν Οὐρανῶν ἐδείχθη, ἐν νηδύϊ τὸν ἀπεριόριστον, ἀστενοχωρήτως χωρήσασα.

www.tezaurliturgic.ro



Κανὼν ἕτερος. Ὠδὴ γ΄. Σὺ εἶ τὸ Στερέωμα.

Ἄγγελοι καὶ ἄνθρωποι, ἐν τῇ σῇ μνήμῃ ἀγάλλονται· καὶ τὸν Χριστὸν πάντες ἀνυμνοῦσι, τόν σε δοξάσαντα Ἀγαθάγγελε.

Ξηρὰ φρονήματα, ἀπὸ καρδίας, μάκαρ, ἀπέῤῥιψας, καὶ τὰ ἄνω κατεπόθησας, ὑπὲρ ὧν ἐδέξω καὶ μαρτύριον.

Ξέγηθε τὰ τάγματα, Ἀγγέλων μάκαρ καὶ τῶν ἀνθρώπων ὁμοῦ, ὁ διάβολος δ' ἠφάνισται, ἐν τῇ σῇ ἀθλήσει Ἀγαθάγγελε.

Θεοτοκίον.

Ἐβλάστησας τὸν ἄσταχυν, τὸν ἀγεώργητον Πάναγνε, πάντων ἡμῶν τρέφοντα καρδίας, τῶν πιστῶς ἀνυμνούντων σε.

Ὁ Εἱρμός.

» Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου·
» ἐπλατύνθη, ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτη-
» ρίῳ σου.

Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Πολυώδυνα βάσανα ἐνεγκών, διεκήρυξας ἅπασι τὸν Χριστόν. Καὶ χαίρων ἐβάδιζες τοῦ σταδίου ἐν μέσῳ, καταπλήσσων Ἀγγέλων τὰ τάγματα Ἅγιε, καὶ πιστῶν στηρίζων τὸ φρόνημα ἄριστε. Ὅθεν ἀνεδείχθης τῶν Μαρτύρων ἡ δόξα, καὶ βρύσις πολύκρουνος τῶν ἀπείρων θαυμάτων· διὸ πόθῳ σοὶ κράζομεν· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ σωθῆναι πάντας, Ἀγαθάγγελε, τοὺς ἑορτάζοντας πόθῳ τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Πειρασμοῖς πολυτρόποις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τῷ σάλῳ συνέχομαι, τῶν ἀμέτρων πταισμάτων μου· καὶ ὡς θερμὴ ἀντίληψις, καὶ σκέπη μου ἄχραντε, τῷ λιμένι προστρέχω, τῆς Σῆς ἀγαθότητος. Ὅθεν Παναγία, τὸν ἐκ Σοῦ σαρκωθέντα, ἀσπόρως, ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σε, πρεσβεύουσα Αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον τόκον σου.

www.tezaurliturgic.ro



'Ωδὴ δ'. Εἰσακήκοα ὁ Θεός.

Πολυώδυνα ἐνεγκών, βασάνων εἴδη γενναῖε Μάρτυς, σὺν τῷ Θείῳ χαίρων Κλήμεντι, ταῖς ῥοαῖς τοῦ αἵματος, πᾶσαν τὴν γῆν θεόφρον ἡγίασας.

Ἀνηρτήθης ὡς ὁ Χριστός, ἐπὶ τοῦ Ξύλου καὶ κατεξάνθης τὰς πλευρὰς σιδήρῳ ἔνδοξε, καταπλήξας ἅπαντας, ὑπομονῆς σοφὲ Ἀγαθάγγελε.

Μεγαλύνοντες τὸν Χριστόν, φρουρὰν κατῴκουν οἱ ἀθλοφόροι, ὡς φρουροὶ θείων προστάξεων, Κλήμης ὁ Πανάριστος, καὶ Ἀγαθάγγελος ὁ ἀοίδιμος.

Θεοτοκίον.

Μακαρίζομέν σε ἀεί, Θεοκυῆτορ εὐλογημένη, δι' ἧς δόξης ἠξιώθημεν, καὶ τὸν πρὶν παράδεισον, ὃν ἀπωλέσαμεν ἀπελάβομεν.

Ἕτερος. Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Λογχισμούς τε καὶ μάστιγας, ἐκδοράν, λαμπάδων τε φλόγας, Ἅγιε, καρτερώτατα ὑπήνεγκας, τοῦ Χριστοῦ δοξάζων, τὴν Θεότητα.

Ὀβελοῖς ἐκκεντούμενος, καὶ τὰ μέλη, μάκαρ διαπερώμενος, ἠγαλλίας Ἀγαθάγγελε, εὐφροσύνῃ θείᾳ, τῇ τοῦ πνεύματος.

Νικητὴς κραταιότατος τοῦ Σατάν, παμμάκαρ καὶ γενναιότατος, ἐν Κυρίῳ, ψάλλων, πέφηνας, νῦν ἐστερεώθη ἡ καρδία μου.

Θεοτοκίον.

Ὑπὲρ φύσιν καὶ ἔννοιαν, Λόγον τοῦ Πατρὸς ὁμοούσιον, πῶς ἐβάστασας ἐν μήτρᾳ Σου, ἀποροῦμεν Μῆτερ Ἀειπάρθενε.

Ὠδὴ ε'. Ὄρθρον φαεινὸν ἡμῖν.

» Ἄνθραξι πυρούμενοι, ἀγαπήσεως τοῦ Παντουργοῦ, ἐν ἀσβέστῳ
» πυρωθείσῃ ἐβλήθητε, καλλίνικοι Μάρτυρες.

Κόσμος ὡραιότατος, ἐνεδείχθητε τῶν ἀθλητῶν, ἀφαιρούμενοι δορὰν τὴν τοῦ σώματος, ἀήττητοι Μάρτυρες.

www.tezaurliturgic.ro



Ἁπλωθεὶς εἰς κράββατον, καὶ ὀπτόμενος ἐν τῇ πυρᾷ Ἀγαθάγγελε, Ἀγγέλους ἐξέπληξας, ὁρῶντας τοὺς ἄθλους σου.

Θεοτοκίον.

Ῥυομένη φάνηθι, ἀπειρόγαμε πάντας ἡμᾶς, πειρασμῶν τε καὶ κινδύνων καὶ θλίψεων, τοὺς πόθῳ ὑμνοῦντάς σε.

Ἕτερος. Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Μάκαρ ἀθλητά, Θεοῦ φίλε, Ἀγαθάγγελε, ὑπὸ τὴν σήν, Θείαν προστασίαν, τοὺς προσπεφευγότας ἐκ κινδύνων, σῷζε πρεσβείαις σου.

Νόσων χαλεπῶν, Ἀγαθάγγελε διάσωσον, τοὺς τὴν σὴν μνήμην γεραίροντας, καὶ σῇ δεήσει, ψυχοφθόρων παθῶν ἀπάλλαξον.

Ὤφθης κραταιός, Ἀγαθάγγελε, Μάρτυς πανένδοξε, ἐμὸς ῥύστης ἐν κακῶν ἐπιφοραῖς. Ἀλλ' ἱκέτευε, ἕως τέλους, μὴ παρίδῃς με.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ καὶ ἡμῶν Μῆτερ, Παρθένε Πάναγνε, τῷ Σῷ Υἱῷ οἰκείωσόν με, Κόρη, καὶ ἐμὴν καρδίαν τῆς αὐτοῦ γαλήνης πλήρωσον.

Ὠδὴ ς'. Ἐν πελάγει τοῦ βίου.

Χαριστήριον αἶνον Θεῷ προσῆξας, Θεόφρον ἀθλητά, ἐν τῇ καμίνῳ ἐμβληθείς, ὡς πάλαι οἱ αἰχμάλωτοι Παῖδες, καὶ δρόσον δεχόμενος, Ἀγαθάγγελε οὐρανόθεν.

Ἀγαθαῖς ἀγγελίαις, ταῖς δι' Ἀγγέλων, νευρούμενος τὸν νοῦν, τοὺς αἰκισμούς τε καὶ ἀλγηδόνας, ὥσπερ πάσχοντος ἄλλου, ῥᾳδίως ὑπήνεγκας, Ἀγαθάγγελε γενναιόφρον.

Ἱερὰν ξυνωρίδα ὑμᾶς ὁ πλάνος, θεασάμενος σοφοί, δεσμοῖς συνθλίβει, καὶ ποιναῖς συγκόπτει, καὶ φρουραῖς καταλύει, καὶ γέλωτα ὤφλησε, τῇ ἀτρέπτῳ ὑμῶν ἐνστάσει.

Θεοτοκίον.

Ῥᾳθυμίαν ὕπνου θανατηφόρου, ἀπάλλαξον ἁγνή, καὶ πρὸς ἐνθέους γρηγορεῖν με ὕμνους, καὶ καλὰς ἐργασίας, ἐνίσχυσον Δέσποινα, ἵνα πόθῳ ὑμνολογῶ σε.

www.tezaurliturgic.ro



"Ετερος. Ὠδὴ ς΄. Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον.

Ἀκοίμητον, στοργικὸν φρουρόν τε οἶδά σε, Ἀγαθάγγελε Μαρτύρων ἀκρότης, καὶ ἐν κινδύνοις προστάτην καὶ ῥύστην, καὶ πειρασμοῖς φοβερὸν ἀντιλήπτορα, διώκοντα τῶν δυσμενῶν ἀπειλοῦντά με στίφη τὰ ἄγρια.

Ῥᾳθύμως, τὴν ζωήν μου διερχόμενον, καὶ τοῖς πάθεσι δεινῶς πεπλεγμένον, ἐλέησόν με, Ἀγαθάγγελε μάκαρ, καὶ ἐκ βυθοῦ τῶν κακῶν με ἀνάγαγε, ὑψῶν μου πρὸς τὸν οὐρανόν, τὴν καρδίαν, θερμαῖς σου ἐντεύξεσιν.

Τιτρώσκουσι, τῶν πειρασμῶν με βέλη "Αγιε, καὶ πληροῦσιν ἀθυμίας μου τὴν καρδίαν· ἀλλ' ὁ ἐν μέσῳ θριαμβεύσας σταδίου τοῦ πειραστοῦ, τοῦ ἀρχαίου τὴν δύναμιν, ἀνάδειξόν με, ἀθλητά, νικητήν, εὐφημοῦντα τὴν χάριν σου.

Θεοτοκίον.

Ὑπέραγνε, Παναγία Μητροπάρθενε, τῶν Ἁγίων ἁπάντων ἁγιωτέρα, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα, τὴν ταπεινήν μου καρδίαν, καθάρισον καὶ πρόσωπον τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ μου ἰδεῖν καταξίωσον.

Ὁ Εἱρμός.

Ἐν πελάγει, τοῦ βίου ταῖς πράξεσί μου, κατῆλθον εἰς βυθόν· ἀλλ' ὡς ἐκ κήτους Ἰωνᾶς οὕτω βοῶ σοι· ἐκ βυθοῦ τῶν κακῶν μου, ἀνάγαγε δέομαι, Υἱὲ τοῦ Θεοῦ καὶ λόγε.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἐκ τῆς Ῥώμης ἤνθισας, τῆς πολυμάρτυρος μάκαρ, καὶ τρανῶς ἐξέπληξας τοὺς συνωνύμους Ἀγγέλους, βλέποντας, ἐν αἰκισμοῖς σου τὴν καρτερίαν, ἥν περ, ὑπὲρ Χριστοῦ ἐπέδειξας Μάρτυς, διὰ τοῦτο ἡγιάσθης, καὶ τῶν θαυμάτων χάριν ἀπείληφας.

Ὁ Οἶκος.

Ὑμνῆσαι θέλων, τοὺς σοὺς ἄθλους παμμάκαρ, καὶ τὰς σὰς ἀριστείας, ἀθλητὰ Ἀγαθάγγελε, ἅπερ πάντα γενναίως, ὑπὲρ Χριστοῦ, ἐκαρτέρησας, δειλιῶ καὶ πτοοῦμαι καὶ οὐ τολμῶ ὁ ἀνάξιος·

www.tezaurliturgic.ro



ὡς φιλόζωος ὅλος γεγονὼς καὶ φιλόϋλος καὶ καρδίαν καὶ χείλη, ὅλως ἔχων ἀκάθαρτα. Διὰ τοῦτο δεήσεις, ἀντὶ ὕμνων προσάγω σοι. Τὸν Θεόν, ὃν παρώργισα δικαίως, ἱλέωσον, καὶ θερμαῖς σου πρεσβείαις Αὐτῷ με οἰκείωσον. Παῤῥησίαν γὰρ ἔχεις, παρ᾽ αὐτῷ πλείστην, Ἅγιε, καὶ παρ᾽ Αὐτοῦ τῶν θαυμάτων χάριν ἀπείληφας.

Συναξάριον.

Τῇ ΚΓῃ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀγαθαγγέλου.

Στίχοι.

Ἀγαθαγγέλου παμμάκαρος αἱμάτων
τὸ τοῦ ξίφους δίψαιμον ἐπλήσθη στόμα.

Εἰκάδι δ᾽ ἐτμήθητε τρίτη, Ἀγαθάγγελε, Κλήμη.

Ὁ Μακάριος Ἀγαθάγγελος Ρωμαῖος ἦν τὸ γένος, ἀκμάσας περὶ τὸ 304, ἐπὶ Μαξιμιανοῦ Βασιλέως. Μετὰ δὲ τὸ ἀναιρεθῆναι τοὺς μετὰ τοῦ ἁγίου Κλήμεντος ὄντας ἁγίους ἐναποκλείστους ἐν Ρώμῃ (ὧν εἷς ἦν ὁ Ἀγαθάγγελος, πρῶτος μὲν τῶν ἄλλων προσελθὼν καὶ βαπτισθεὶς ὑπὸ τοῦ ἁγίου Κλήμεντος, ἀποδράσας δὲ καθ᾽ ὃν καιρὸν ἔμελλον ἀποτμηθῆναι οἱ σὺν αὐτῷ ἀπόκλειστοι), μέλλοντος τοῦ Ἁγίου Κλήμεντος ὑπὸ τῶν ὑπηρετῶν τοῦ Μαξιμιανοῦ ἀπαχθῆναι, καὶ ἐμβληθῆναι τῷ πλοίῳ, καὶ ἀποπλεῦσαι εἰς Νικομήδειαν, προλαβὼν ὁ Ἀγαθάγγελος εἰσῆλθε λαθὼν εἰς τὸ πλοῖον, καὶ περιέμενε τὸν Κλήμεντα. Ὡς δὲ καὶ οὗτος εἰσῆλθε καὶ προσπεσόντα τὸν Ἀγαθάγγελον τοῖς ποσὶν αὐτοῦ εἶδεν, ἐχάρη, καὶ τὴν αὐτοῦ μεταμέλειαν καὶ ἐπιστροφήν, ὡς ἀγαθοῦ Ἀγγέλου παρουσίαν, ἐνόμισε. Καὶ ἦν συναθλῶν αὐτῷ, ἄχρις ἂν φθάσαντες εἰς Ἄγκυραν, πρὸς Λούκιον παρεγένοντο. Κἀκεῖσε τὴν κάραν ἀποτμηθείς, προστάξει τοῦ Λουκίου, μετὰ τῶν λοιπῶν σὺν αὐτῷ, ἀνδρῶν τε καὶ γυναικῶν καὶ παιδίων, τῷ Χριστῷ προσελθόντων, πρὸς τὰς οὐρανίους ἀπέπτη μονάς. Τὰ δὲ εἴδη τῶν βασάνων εἰσὶ ταῦτα: Βουνεύροις ξηροῖς τύπτεται· ξύλῳ ἀναρτᾶται, λαμπάσι πυρὸς τὰς πλευρὰς καίεται· θηρίοις ἐκδίδεται· σούβλας πεπυρωμένας διὰ τῶν μεσοδακτύλων τῶν χειρῶν δέχεται· ἐν ἀσβέστῳ βληθεὶς δυσὶν ἡμέραις προσεκαρτέρησε, λώρους τῆς δορᾶς τοῦ σώματος τῶν ὤμων ἀφαιρεῖται· βάκλοις (ῥαβδίοις) αὖθις τύπτεται· ἐπὶ κραββάτου πυρωθέντος ἀνακλίνεται· εἰς κάμινον πυρὸς νυχθημερὸν ἐμβάλλεται· κατὰ τῶν ψοῶν (πλευρῶν) σφοδρῶς ξέεται· ὀβελίσκοις, κατὰ γῆς ἐμπαρεῖσιν ἄνω τὰς εὐθείας ἔχουσιν, ἐπακοντίζεται, οἳ δεινῶς αὐτὸν κατεκέντησαν καὶ κατέτρωσαν· μόλυβδον, λυθέντα, κατὰ κεφαλῆς ὁ Ἅγιος ἐπιχέεται· λίθοις μυλίταις τῷ τραχήλῳ ἐξαρτᾶται, καί, διὰ τῆς πόλεως ἑλκόμενος, ἅμα Κλήμεντι, λίθοις βάλλεται, τὸ δὲ τελευταῖον καρατομεῖται, ἅμα τῷ ἁγίῳ Κλήμεντι, ἐν Ἀγκύρᾳ τῆς Γαλατίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος, ἐπισκόπου Ἀγκύρας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐσεβίου.

Ὁ Ὅσιος πατὴρ ἡμῶν Μαΰσιμᾶς, ἢ Μαΰουμᾶς ὁ Σῦρος, ἐν εἰρήνῃ τελειοῦται.

www.tezaurliturgic.ro



Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σαλαμάνου, τοῦ ἡσυχαστοῦ.

Οἱ Ἅγιοι δύο Μάρτυρες οἱ ἐν Παρίῳ, βληθέντες ἐν λάκκῳ τελειοῦνται.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Μὴ παραδώῃς ἡμᾶς.

Ὥσπερ οἱ δύο ἀεὶ φωστῆρες, φαιδρῶς τὴν Ἐκκλησίαν φωτίζουσι, πλουσίως ἄθλων λαμπρότητι, σὺν Ἀγαθαγγέλῳ ὁ μέγας Κλήμης, σκοτασμὸν λύοντες πονηρῶν, ἀπιστίας ἐχθρῶν· οὓς εὐφημήσωμεν μεγαλοφώνως.

Νεανικῶς τοὺς ξεσμοὺς ὑπέστης, καὶ πάσας τρικυμίας, τῶν ἀνυποίστων πόνων σαρκός σου τραύμασιν, ἐχθροὺς τραυματίζων τοὺς ἀοράτους, ἀθλητὰ ἔνδοξε, τῶν παθῶν τοῦ Χριστοῦ κοινωνέ, Ἀγγέλων σύσκηνε, Μαρτύρων κλέος.

Χαίρων ὑπέστης σοφὲ μολύβδου, βαρείας πυρακτώσεις, κατὰ τῆς θείας κάρας ἐπενεχθείσας σου, καὶ καταφλεγούσας ταύτην διόλου, ὥσπερ τις ἄσαρκος, Ἀγαθάγγελε στρατιῶτα Χριστοῦ· ὅθεν πίστει σὲ δοξολογοῦμεν.

Θεοτοκίον.

Ἀνερμηνεύτου λόγῳ μετέσχες Παρθένε μυστηρίου· Θεὸν γὰρ τὸν ἐν πᾶσιν ὄντα ἀχώρητον, ἀστενοχωρήτως χωρεῖς καὶ τίκτεις, καὶ μαζοῖς ἔθρεψας, βουληθέντα οἰκτειρῆσαι ἡμᾶς, τοὺς Θεοτόκον σε ὁμολογοῦντας.

Ἕτερος. Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥανίσι σῶν αἱμάτων, Ἀγαθάγγελε, Μάρτυς, Χριστοῦ, πανθαύμαστε, κοσμῶν σου τὸν χιτῶνα, τὸν ἄφθαρτον καὶ θεῖον, εὐφραινόμενος ἔψαλλες: Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὡραῖος, ἀπαστράπτων, τὸ πρόσωπόν σου μάκαρ, ὑπὲρ τὸν ἥλιον, ἐν μέσῳ τῶν βασάνων, Ἀγγέλοις καὶ ἀνθρώποις καθωράθης φθεγγόμενος. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro



Νεανικῶς ὑπέστης, βουνεύρων τὰς αἰκίσεις, ὥσπερ ἄκμων τυπτόμενος, ἠλάλαζες δὲ μάκαρ, σαρκῶν σου κοπτομένων, πλήρης ὢν θείου ἔρωτος. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Δοξάζει πᾶσα κτίσις, πανάμωμε Παρθένε, τὸν πανάχραντον τόκον σου, δι᾿ οὗ ἡ σωτηρία ἀνέτειλε τῷ κόσμῳ καὶ χαρὰ τοῖς κραυγάζουσιν· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὰ σύμπαντα δέσποινα.

Ῥανίσιν αἱμάτων σου, πῦρ ἀποσβέσας ἀθεΐας, ἤρδευσας πανεύφημε, Χριστοῦ τὴν Ἐκκλησίαν, πίστει ἀναθάλλουσαν, καὶ εὐφημοῦσαν ἀξίως, τοὺς μεγίστους σου πόνους, τὰ παλαίσματα, τὰς λαμπρὰς ἀριστείας, ἀπαύστως σοφὲ Ἀγαθάγγελε.

Ἴσους ἐκομίσαντο τῆς νίκης τοὺς στεφάνους, Κλήμης ὁ πανάριστος καὶ Ἀγαθάγγελος· ὅθεν ἐν ὑψίστοις, τῷ πάντων βασιλεύοντι παρεστῶτες, προστάται καὶ ῥύσται ἡμῶν χρηματίζουσιν, εὐλογοῦντες ὑμνοῦντες ἀπαύστως τὸν Κύριον.

Νέους ἐκμιμούμενος, τοὺς κατασβέσαντας τὴν φλόγα, τὸ πῦρ ὥσπερ ἄσαρκος, ὑπῆλθες ἀθλοφόρε, ζήλῳ πυρακτούμενος, τῆς τοῦ Κυρίου ἀγάπης, καὶ θερμῶς ἀνεβόας Ἀγαθάγγελε· Εὐλογεῖτε τὰ ἔργα Κυρίου, ἀπαύστως τὸν Κύριον.

Θεοτοκίον.

Ἰσχυρὰν παράκλησιν, καὶ ἀκαταίσχυντον ἐλπίδα, τεῖχος ἀπροσμάχητον καὶ θείαν προστασίαν, ὁ λαός σου ἔχει σε, ὁ σὲ δοξάζων Παρθένε· καὶ σωζόμενος κράζει ἐμμελέστατα: Εὐλογεῖτε τὰ ἔργα Κυρίου, ἀπαύστως τὸν Κύριον.

Ἕτερος. Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ὅλος ἀγάπης θεϊκῆς πεπλησμένος, κατεφρόνεις τῶν βασάνων παμμάκαρ, τὸν Κύριον ψάλλων, ὑμνεῖτε εἰς αἰῶνας.

Ξεσμοῖς ὀνύχων, παραδίδων τὰς σάρκας, ἐμελῴδεις, Ἀγαθάγγελε· ἡδέως τὸν Κύριον ὕμνει, ψυχή μου, εἰς αἰῶνας.

www.tezaurliturgic.ro



Ἀβραμιαῖοι, ὥσπερ παῖδες ἐκεῖνοι, καὶ πυρὸς ὑπομένεις ὀδύνας, τὸν Κύριον, κράζων, ὑμνῶ εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Νίκην παράσχου τῷ σῷ δούλῳ Παρθένε, κατὰ παθῶν τυρρανούντων με, Κόρη, ὅπως ἀνυμνῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Τὰ σύμπαντα Δέσποτα, τῇ σῇ σοφίᾳ συνεστήσω· γῆς δὲ πάλιν ἥδρασας, ὡς οἶδας τὸν πυθμένα, τῇ βάσει πηξάμενος, ἐπὶ ὑδάτων ἀπείρων· διὸ πάντες βοῶμεν ἀναμέλποντες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου, ἀπαύστως τὸν Κύριον.

Ὠδὴ θ΄. Ἐποίησε κράτος.

Ὡς δυὰς ὡραία, Ἀγαθάγγελος ὁμοῦ, ὁ ἔνδοξος, καὶ Κλήμης ὁ γενναῖος, φανέντες μαρτυρικαῖς, ἐλαμπρύνθησαν στολαῖς· καὶ νῦν στεφανηφόροι τῷ Θεῷ, καὶ βασιλεῖ τῶν ὅλων, εὐκλεῶς παρίστανται, σὺν τοῖς Ἀσωμάτοις.

Σαρκὸς οὐκ ἐφείσω, ὁμιλοῦσι χαλεποῖς ἐν πλείοσι καιροῖς κολαστηρίοις, ἐφέσει τῶν ἀγαθῶν, ὧν ἡτοίμασε Θεὸς τοῖς θείοις θεράποσιν αὐτοῦ· μεθ' ὧν περιπολεύεις, Μάρτυς Ἀγαθάγγελε, χαίρων εἰς αἰῶνας.

Ἡ γῆ ἑορτάζει, καὶ χορεύει οὐρανός· ἀγάλλονται χοροὶ τῶν Ἀσωμάτων, καὶ καρδίαι τῶν πιστῶν, εὐσεβῶς δοξάζουσι, τὴν μνήμην σου σήμερον σοφέ, ἐν ᾗ τοὺς σὲ τιμῶντας, σῷζε ταῖς πρεσβείαις σου, πάσης ἐπηρείας.

Θεοτοκίον.

Φωτίζεις τὸν κόσμον, ἀνατείλασα τὸ φῶς, Πανάμωμε τὸ λάμψαν πρὸ αἰώνων, ἐκ τοῦ Πατρός, ὑπὲρ νοῦν· διὰ τοῦτό σοι βοῶ· τὸ σκότος ἀπέλασον, ἁγνή, ἐκ τῆς ἐμῆς καρδίας, τῶν ἀτάκτων λογισμῶν, ὅπως ἀνυμνῶ σε.

Ἕτερος. Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Εὐχαῖς σου ταῖς ἁγίαις, Ἀγαθάγγελε Μάρτυς καθικετεύω σε, ἰάτρευσόν μου, τὰς νόσους ψυχῆς καὶ σώματος.

www.tezaurliturgic.ro



Θεῷ τῷ ἐν Τριάδι, παριστάμενος μάκαρ τοῦτον ἱλέωσαι, ὅπως πρὸ τέλους, παράσχῃ μοι βίου διόρθωσιν.

Μαρτύρων θεοφόρων, ἀκρότατε παμμάκαρ Ἀγαθάγγελε πάνσοφε, μὴ χωρισθῇς, ἱκετεύω, σοῦ δούλου πώποτε.

Θεοτοκίον.

Σωτῆρα ἡ τεκοῦσα, τοῦ κόσμου ὑπὲρ λόγον Παναγία Θεόνυμφε· ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, Τοῦτον ἱκέτευε.

Ὁ Εἱρμός.

Ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ· καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, ὁ Θεὸς τοῦ Ἰσραήλ· ἐν οἷς ἐπεσκέψατο ἡμᾶς, Ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Ἐξαποστειλάριον.

Πρὸς τὸ Γυναῖκες ἀκουτίσθητε

Ὡς Παῦλος ὁ Ἀπόστολος, τὴν γῆν κυκλώσας ἅπασαν, καὶ τῶν μακρῶν σου ἀγώνων, ἐκτείνας Κλήμη τὸ κλῆμα, τῇ ἕλικι τῆς πίστεως, ζωγρεῖς τὸν Ἀγαθάγγελον, συγκοινωνόν σοι Μάρτυρα, τῆς ἀγαθῆς ἀγγελίας, ἐπώνυμον ἀθλοφόρον.

Ἕτερον τοῦ Ἁγίου Ἀγαθαγγέλου, ὅμοιον.

Ἀθλήσας Ἀγαθάγγελε, ὡς Ἄγγελος ἀσώματος, κατήσχυνας τοὺς τυράννους, καὶ τὸν Χριστὸν ἐδόξασας. Διὸ Αὐτὸν ἱκέτευε κινδύνων πάντων ῥύσασθαι, καὶ τῆς ζωῆς ἀξιῶσαι, τῆς οὐρανίου παμμάκαρ, τοὺς ἀνυμνοῦντας σὴν μνήμην.

Θεοτοκίον, ὅμοιον.

Ὡς οὖσα καθαρώτατον, δοχεῖον Θεονύμφευτε, τῆς τῶν παθῶν με ἀχλύος, δεῖξον ἐλεύθερον Κόρη· βρυγμοῦ ὀδόντων σκώληκος, καὶ τοῦ πυρὸς ἐξάρπασον, τοῦ αἰωνίου Δέσποινα, ὅπως ἐν πίστει ὑμνῶ σε, εὐλογημένη Μαρία.

www.tezaurliturgic.ro



Εἰς τοὺς Αἴνους ψάλλομεν τροπάρια τέσσαρα.

Ἦχος α΄. Τῶν Οὐρανίων ταγμάτων.

Τὸν Ἀγαθάγγελον πάντες δεῦτε ὑμνήσωμεν, τὸν Μάρτυρα Κυρίου, τὸν γενναῖον, τὸν μέγαν· πολλὰς γὰρ ὑπομείνας βασάνους φρικτὰς τὸν Χριστὸν ὡμολόγησε, καὶ παρ' αὐτοῦ τῷ στεφάνῳ τῆς δόξης, στεφθείς, εἰς αἰῶνας μακαρίζεται.

Ἵνα σε πίστει τιμῶμεν, Μάρτυς πανθαύμαστε, καὶ σὴν πανένδοξον μνήμην, ἑορτάζομεν πόθῳ, γενοῦ ἡμῶν προστάτης, καὶ ῥύστης θερμός, ἐν κινδύνοις καὶ θλίψεσι, καὶ ἀσφαλὴς ἐν ταῖς νόσοις ἡμῶν ἰατρός, Ἀγαθάγγελε πολύαθλε.

Μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν πρὸς Θεόν, τῶν σὴν τιμώντων μνήμην, Ἀγαθάγγελε θεῖε· πολλὴν γὰρ παῤῥησίαν πλουτεῖς πρὸς αὐτόν, καὶ ἡδέως ἀκούει σου, ὅτι ἐν μέσῳ βασάνων, φλογῶν τε πυρός, θαυμαστῶς τοῦτον ἐδόξασας.

Ὦ ἀθλητὰ γενναιότατε Ἀγαθάγγελε, ὁ διαβόλου πάσας, τὰς ὁρμὰς ταπεινώσας, ἐν μέσῳ τοῦ σταδίου, δυνάμει Σταυροῦ, καὶ ἡμᾶς ἐλευθέρωσον, τῶν πειρασμῶν τῶν ἀγρίων τοῦ πονηροῦ, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Δόξα... Ἦχος πλ. α΄.

Σήμερον ἡμᾶς συνήγαγε, πιστοί, τοῦ πανενδόξου Μάρτυρος Ἀγαθαγγέλου, ἡ πάντιμος μνήμη. Δεῦτε οὖν φιλομάρτυρες πάντες, μετὰ Ἀγγέλων ὑμνήσωμεν, τὸν ἐν σαρκὶ Ἄγγελον φανέντα, καὶ ἀπαθείᾳ καὶ καρτερίᾳ Ἀγγέλους ἐκπλήξαντα, καὶ τὸν ἀληθινὸν Θεόν, ἐν τοῖς παθήμασιν αὐτοῦ δοξάσαντα. Αὐτῷ οὖν βοήσωμεν, μὴ χωρίζου Ἅγιε τῶν τιμώντων σου τὴν μνήμην, καὶ δώρησαι πρεσβείαις σου ἰάματα, εἰρήνην, καὶ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἐλπὶς τῶν ἀπηλπισμένων, χαρὰ τῶν ἀπεγνωσμένων, ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, Ἁγία Δέσποινα Θεοτόκε Παρθένε, τὴν βοήθειάν σου κατάπεμψον ἡμῖν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου ἡ γ' καὶ ς' Ὠδή.

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου.

Εἰς τὰ δίπτυχα·

Μεγαλυνάριον.

Χαίροις, Ἀγαθάγγελε ἀθλητά, Μαρτύρων λαμπρότης, φίλε ἄριστε τοῦ Χριστοῦ· προστάτης τε μέγας τῶν σὲ εὐλαβουμένων ἐν πίστει τε καὶ πόθῳ σὲ μεγαλύνομεν.

Κοινωνικόν:

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος Ἀλληλούϊα.

